# ΔΥΟ ΡΗΤΟΡΙΚΑΙ ΜΕΛΕΤΑΙ ΠΕΡΙ ΜΑΖΕΠΠΑ

Κατωτέρω ἐκδίδω δύο περὶ Μαζέππα ῥητορικὰ προγυμνάσματα, περιλαμβανόμενα ἐν τῷ ὑπ' ἀριθ. 567 κώδικι τῆς ἐν τῷ Ἁγίῳ Ὄρει εὐαγοῦς μονῆς τοῦ Ἁγίου Παντελεήμονος, γεγραμμένῳ τὸν δέκατον ὄγδοον αἰῶνα.

Ἄλλοτε ἔσχον τὴν εὐκαιρίαν νὰ καταδείξω τὸ ἐνδιαφέρον περὶ τοῦ Μαζέππα παρὰ τοῖς τουρκοκρατουμένοις Ἕλλησι [1]. Καὶ τὸ μὲν ἐρωτικὸν αὐτοῦ ἐπεισόδιον μετὰ τῆς συζύγου τοῦ Πολωνοῦ εὐπατρίδου Φαλιβόσκη ἐγέννησε ποίημα ἐν τῇ δημώδει γλώσσῃ ὑπὸ ἡμιλογίου στιχουργοῦ γραφὲν καὶ ἐκδοθὲν ὑπὸ τοῦ Legrand. Ἡ δ' ἐκδίκησις τοῦ ἀπατηθέντος συζύγου, προσδέσαντος τὸν Μαζέππαν ὁλόγυμνον ἐπὶ τοῦ ἰδίου ἵππου καὶ ἐλπίσαντος ὅτι οὗτος ἤθελε κατασπαραχθῆ ὑπ' αὐτοῦ, παρασύροντος τὸν ἀναβάτην, ἤγαγεν εἰς τὰς εἰκόνας ἐκείνας τῶν παλαιοτέρων χρόνων, αἵτινες καὶ σήμερον ἀκόμη εὑρίσκονται ἐνίοτε καὶ παρ' ἡμῖν ἀνηρτημέναι ἐν ἀποκέντροις καφενείοις ἢ ἀφιλοκάλοις ἐπαρχιακοῖς κουρείοις.

Καὶ ἀπὸ μὲν τοῦ κινδύνου ἐκείνου διεσώθη, ὡς γνωστόν, ὁ Μαζέππας, τοῦ ἵππου, ὅστις κατήγετο ἀπὸ τῆς Οὐκραίνης, παρασύραντος αὐτὸν ἐξηντλημένον μέν, ἀλλὰ ζῶντα εἰς τὴν χώραν ἐκείνην, ὅπου διασωθεὶς καὶ περιθαλφθεὶς ὑπὸ τῶν ἀγροτῶν ηὐξήθη ταχέως μέγας διὰ τῆς ῥώμης αὐτοῦ καὶ τῆς ἀνδρείας.

Καὶ πρῶτον μὲν ἔγεινε βοηθὸς τοῦ χατμάνου, ἤτοι ἀρχιστρατήγου, Ἰβὰν Σαμουήλοβιτς, εἶτα δὲ τῷ 1687 προήχθη αὐτὸς εἰς χάτμανον. Ὁσημέραι δ' ἐνισχυόμενος ἐν Οὐκραίνῃ,

[1] Ὁ Μαζέππας παρὰ τοῖς νέοις Ἕλλησιν ἐν ταῖς ἐμαῖς Μικταῖς σελίσι σ. 567 κ.ἑ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠΙΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Ε.Ν.Φ. Κ.Τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἀνηγορεύθη τῷ 1693 ὑπὸ τοῦ τσάρου Πέτρου τοῦ μεγάλου ἡγεμὼν τῆς χώρας. Ἀλλὰ μετά τινα ἔτη ἐπειράθη νἀποστατήσῃ ἀπὸ τοῦ ἰσχυροῦ αὐτοκράτορος τῆς Ῥωσίας· βοηθούμενος δὲ ὑπὸ τοῦ μεγάλου ἀντιπάλου, τοῦ τσάρου, τοῦ βασιλέως τῆς Σουηδίας Καρόλου ΙΒ', ἠθέλησε νὰ ἑνώσῃ τὴν Οὐκραίνην μετὰ τῆς Πολωνίας. Ἀλλὰ τὰ βυσσοδομευόμενα ἀπεκαλύφθησαν εἰς τὸν Πέτρον. Οὗτος δὲ τὸ μὲν κατ' ἀρχὰς δὲν ἐπίστευσεν εἰς τὰ καταγγελλόμενα, ἀπ' ἐναντίας δ' ἀπέστειλε τοὺς καταδότας πρὸς αὐτὸν τὸν Μαζέππαν καὶ ἐθανάτωσεν αὐτούς. Ἀλλ' ἔπειτα ὑπ' αὐτῶν τῶν πραγμάτων ἐπείσθη ὁ τσάρος περὶ τῆς παρασκευαζομένης προδοσίας ὑπὸ τὸν Μαζέππαν, εἰ καὶ οὗτος δολίως συνεκάλυπτεν αὐτὴν καὶ ἐπειρᾶτο νὰ διαβουκολήσῃ τὸν Πέτρον. Ὁ αὐτοκράτωρ δὲν ἠδυνήθη νὰ μείνῃ ἀδιάφορος. Ἤρχισεν ἡ καταδίωξις τοῦ προδότου· ἡ ἰσχυρὰ αὐτοῦ ἀκρόπολις, τὸ Βατουρίν, ἐκυριεύθη ὑπὸ τοῦ στρατηγοῦ Μετζικὼφ, καὶ ὁ Μαζέππας ἠναγκάσθη ναὐτομολήσῃ φανερῶς πρὸς τὸν ἤδη ἐν τῇ Οὐκραίνῃ στρατευόμενον Κάρολον ΙΒ'. Ἀλλὰ μετ' οὐ πολὺ ἡττᾶτο μετὰ τοῦ Καρόλου, τελευτῶντος τοῦ Ἰουνίου 1709, ἐν τῇ Πουλτάβᾳ, καὶ μετ' ὀλίγους μῆνας, τὸν Σεπτέμβριον τοῦ αὐτοῦ ἔτους, ἀπέθνησκε φυγάς, ὑπὸ δηλητηρίου, καθ' ἃ ἐπιστεύθη.

Τὰ ἱστορικὰ ταῦτα γεγονότα δὲν ἦσαν βεβαίως ἄγνωστα εἰς τὸν γράψαντα τὰς δύο προκειμένας μελέτας, ὃν δὲν γινώσκομεν ἀτυχῶς. Ἀλλ' ἐν αὐταῖς δὲν ἀκολουθεῖ πιστῶς τὴν ἱστορικὴν ἀλήθειαν. Διὸ παριστάνει τὸν Μαζέππαν συλληφθέντα καὶ ἀπολογούμενον πρὸ τῶν συμβούλων τοῦ τσάρου, παρ' ὧν οὗτος ἀπῄτει τὸν θάνατον τοῦ ὑποδίκου.

Ὁ σκοπὸς τοῦ συγγραφέως εἶνε ἁπλῶς ῥητορικός· θέλει νὰ ἐπιδείξῃ τὴν τέχνην αὐτοῦ ἴσην ἐν τῇ κατηγορίᾳ καὶ τῇ ἀπολογίᾳ. Εἶνε ὀψίγονος διὰ πολλῶν αἰώνων διάδοχος τοῦ Λιβανίου καὶ τοῦ Χορικίου. Ὁ Μαζέππας εἶνε παρ' αὐτῷ τὸ θέμα προγυμνασμάτων, ἐν οἷς τὸ κύριον δὲν εἶνε ἡ μετάδοσις ἱστο-

ρικῶν γνώσεων, ἀλλ' ἡ ἐπίδειξις ῥητορικῆς τέχνης. Μὴ λησμονῶμεν, ὅτι μικρὸν ἀπέχομεν τῶν χρόνων, καθ' οὓς εἶχεν ἤδη ἐκδοθῆ ἡ Ῥητορικὴ τοῦ Φραγκίσκου Σκούφου (1681), καὶ ἴσως εὑρισκόμεθα περὶ αὐτὰς τὰς ἡμέρας, καθ' ἃς ὁ Θεόφιλος Κορυδαλλεὺς ἐξέδιδε τὰ Προγυμνάσματα τοῦ Ἀφθονίου καὶ τὴν περὶ ῥητορικῆς ἐκθέσεως πραγματείαν.

Ὑπὸ τοῦ αὐτοῦ δ' ἐκείνου ῥητορικοῦ πνεύματος τῶν χρόνων διαπνεόμενος ὁ ἄγνωστος ῥητοροδιδάσκαλος τοῦ ἁγιορειτικοῦ κώδικος ἔλαβεν ὑπόθεσιν τὸν Μαζέππαν ἀντὶ νὰ λάβῃ οἱονδήποτε ἄλλον ἀποστάτην, οἱονδήποτε ἄλλον ὑπόδικον. Ἀλλὰ προετίμησεν ὅμως τὸν ἀντάρτην τῆς Οὐκραίνης, ἅτε δυνάμενος νὰ παραστήσῃ ἐν μὲν τῇ κατηγορίᾳ αὐτοῦ τὸν ἀποστάτην καὶ κακοποιόν, ἐν δὲ τῇ ἀπολογίᾳ τὸν ἥρωα καὶ ἐλευθερωτὴν καὶ φιλοδοξῶν νὰ ἐπιδείξῃ τὴν ἰδίαν τέχνην ἐν τῇ παραστάσει τοῦ ἥττονος λόγου ὡς κρείττονος. Ἀλλά, καίπερ ταῦτα ἴσως τὸ κατ' ἀρχὰς προτιθέμενος, παρέστησε μᾶλλον ἐν τῇ ἀπολογίᾳ τὸν Μαζέππαν μεταχειριζόμενον ἅπαντα τὰ ἐπιχειρήματα τῆς πειθοῦς καὶ τῆς σοφιστείας, ὅπως κινήσῃ τὸν ἔλεον τοῦ νικητοῦ.

Καθ' ὅλου δὲ ῥητέον περὶ τῶν δύο Μελετῶν, ὅτι εἶνε γεγραμμέναι μετὰ χάριτος ἅμα καὶ γλαφυρίας καὶ ὅτι ὁ γράψας ἦτο ἐντεθραμμένος μᾶλλον εἰς τὸν ἀρχαῖον Ἕλληνα λόγον ἢ εἰς τὰ λογοτεχνήματα τῶν μέσων χρόνων.

## Μελέτη.

**Τίνας ἂν εἴποι λόγους ὁ φιλόχριστος θεοστεφής τε καὶ νικητὴς ἀεὶ βασιλεὺς Πέτρος Ἀλεξιοβίτζης πρὸς τὸν αὐτοῦ ἀποστάτην Μαζέπαν ἱκετεύοντα μὴ θανατωθῆναι, ἀλλὰ συγγνώμην τυχεῖν ἐφ' οἷς ἔπραξε.**

**Τὰ μὲν ἀπὸ τῆς ἀνταρσίας κακά, ὦ περίβλεπτοι καὶ συνετώτατοι ἄνδρες καὶ τῆς ἐμῆς σύνεδροι καὶ πρόβουλοι βασιλείας, καὶ τὸ πάντων τῶν ἐν ἀνθρώποις δεινῶν ταύτην εἶναι χαλεπωτάτην ὑμεῖς ἀφ'**

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Ε.Ν.Φ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ἑαυτῶν ἱκανοὶ εἴητ' ἂν συνιδεῖν ἔξ ἄλλης τε ἧς ἐσχήκατε ἐμπειρίας, οὐχ ἥκιστα δὲ καὶ τῆς ἧς ἤδη δι' ἔργων ἐπειράθητε, εἰς μέγαν κίνδυνον ἐλθόντες παρὰ τοῦ καταράτου τουτουὶ Μαζέπα, τοῦ μέγιστα μὲν παρὰ τῆς κρατίστης μου βασιλείας ἐλεηθέντος, εἰς τιμήν τε ἀξίας ὑπερκειμένης ἀναχθέντος, ἄπιστα δὲ καὶ ἀδόκητα κατ' αὐτῆς σκευωρήσαντος. Οἴδατε γάρ, ὡς τῆς ἡμῶν βασιλείας, τούτῳ ὡς δούλῳ πιστῷ κατὰ τῶν αὐτῆς πολεμίων Σφαικῶν χρωμένης, οἷα καὶ ὅσα δεινὰ ὁ ἀγνώμων καὶ ἀσεβής, τὸν προδότην Ἰούδαν μιμησάμενος, τῷ αὐτῆς ὑπηκόῳ προςέτριψεν, ἐτάραξε δὲ καὶ τὸ ἐμὸν κράτος οὐ μικρόν. Πολλὰ γὰρ δύναται βλάψαι ὁ οἴκοθεν ἐχθρός φιλίαν ὑποκρινόμενος καὶ τῶν βασιλικῶν ‖ [φ. 150β] μυστηρίων κοινωνῶν. Καὶ γὰρ ἐκεῖνα πάντα ἃ τοὺς πολεμίους ἀνάγκη λανθάνειν ἔκφορα ἐκείνοις ποιῶν, εἰς κίνδυνον μέγαν περιάγει τὰ πράγματα, ἔστι δ' ὅτε καὶ βασιλείας ὅλης εἰς τέλειον ὄλεθρον· ὡς καὶ ἐφ' ἡμῖν μικροῦ δεῖν ξυνέβη ἐξ ἐπιβουλῆς τοῦδε τοῦ δυςωνύμου ἀλάστορος, εἰ μὴ τὸ θεῖον ἡμῶν ἐφείσατο ἐλέῳ ἀπείρῳ τῷ πρὸς ἡμᾶς.

Ἴστε γάρ, ὦ φίλοι, ὡς μεγάλη ῥοπὴ τὰ βεβουλευμένα λανθάνειν, καὶ τὸ αὐτὸ ψήφισμα κρυβὲν μὲν κέρδος τοῖς ἐψηφισμένοις, πρὸ δὲ τῶν ἔργων κηρυχθὲν μάταιον· τὰ δὲ καὶ αὐτοὺς τοὺς βουλευομένους ἔβλαψεν, ὥςτε τὸ γ' ἐπ' αὐτῷ τῷ ἀλιτηρίῳ ἀπαξάπαντες ἄρδην ἀπολώλαμεν. Εἰ δὲ τῇ τοῦ κρείττονος πανσθενεστάτῃ δυνάμει σεσώσμεθα, τῶν πολεμίων τε καὶ ἐπιβούλων κρατήσαντες, τοῦτο οὐδὲν πρὸς αὐτόν, οὔτε μὴν τῶν ἀλγεινῶν βασάνων καὶ θανάτου τοῦ οἰκτροτάτου τουτουὶ ἕνεκα ἀπαλλαγείη. Οὐ γὰρ ὅσιον τὸν πολλῶν θανάτων καὶ πόλεων κατασκαφῆς καὶ ἀνδραποδισμοῦ τῶν ἡμεδαπῶν καὶ παντοίας ἄλλης προνομῆς αἴτιον καταστάντα ἀτιμώρητον σοβεῖν διὰ στενωπῶν καὶ εἰς πληθούσας ἀγορὰς ἐμβάλλειν καὶ πάντων ἡμῶν τῇ διανοίᾳ καταγελᾶν ὡς δῆθεν μὴ αἰσθανομένων ὑπ' ἀγροικίας τῶν ὧν καθ' ἡμῶν ὁ γενναῖος ἐνεανιεύσατο καὶ τὸ ἡλιακὸν σέλας ‖ [φ. 151α] ἀλιτροῖς ὄμμασι κατοπτεύειν τὸν μυρίων θανάτων ἀντάξιον. Ταῦτα οὖν πάντα, φημί, ὑμῶν ἀκριβῶς εἰδότων οὐ μακρῶν λόγων δεήσομαι πρὸς ὑμᾶς εἰς ἔλεγχον τῆς τούτου ἀπαραμίλλου κακίας καὶ ὅτι ἀναγκαῖον δίκαιόν τε καὶ κοινῇ λυσιτέλεια τοῦτον τεθνάναι μετὰ πολλὰς βασάνους.

1. ἐμπορίας 2. τῆς ἧς 18. κριβὲν 21. ἀπωλώλαμεν 24. τούτου οὐ τῶν 26. ἀτιμώτερον ἐν δὲ τῇ φᾳ ἀτιμώρητον

Ἀλλ' ἵνα μὴ δόξωμεν αὐτῷ τε τῷ θεηλάτῳ καὶ ἄλλοις τισὶ τοῖς μὴ τὰ κατ' αὐτὸν ἀκηκοόσιν οἷα παρηνόμησε καθ' ἡμῶν ἀναιτίως, ἀναιδὴς τῷ προςώπῳ καὶ ἀπαρακαλύπτῳ τῇ κεφαλῇ, μόνῃ τῇ ἐμφύτῳ κακίᾳ διδασκάλῳ καὶ ὁδηγῷ χρώμενος, θυμῷ χαριζόμενος ὠμῶς κινηθῆναι ἐπ' αὐτῷ, ὀλίγα τινὰ πειρασόμεθα πρὸς αὐτὸν διελθεῖν μετὰ τῆς δυνατῆς καὶ φίλης ἡμῖν βραχυλογίας. Τρέψω οὖν τὸν λόγον πρὸς αὐτόν, τοιαῦτα πυνθανόμενος, ὅν ἔδει μηδενὸς λόγου παρ' ἡμῶν ἢ ὄψεως τῆς ἡμετέρας τυχόντα διαχειρισθῆναι. Τίς γὰρ ἀνθρώπων μεμιασμένων ἢ ὁρωμένων ἢ λεγόντων ἀνάσχοιτο; Πλὴν μέντοι καὶ τουτουὶ μὴ ἀπαξιούσθω, μέτρια ἡμῶν φρονούντων.

Εἰπὲ ἡμῖν, ὦ ἐξωλέστατε, τίνων ἀξιοῖς παρὰ τῆς ἡμετέρας βασιλείας λαχεῖν; Ἐλέους καὶ ἀεικέος πότμου ἀπαλλαγῆς; Καὶ πῶς οὐκ ᾐδέσθης τοιάδε ἡμᾶς ἀξιῶν; Μέγα ὄντως κακὸν ἡ ἀναίδεια καὶ δεινὸν
φ. 151ᵛ ἡ πονηρία, ἀναίσθητον || ἡ εὐήθεια, δυςμεταχείριστον ἡ σκαιότης, οὔτ' εὐπραξίαις δυςωπουμένη, οὔτε μὴν δυςκληρίαις νουθετουμένη, ἀλλ' ἅπαξ τοῦ εὖ φρονεῖν ἀποβουκοληθεῖσα, μυρίοις ὅσοις φέρεται ἀτοπήμασι, δίκην ἑτερογνάθου καὶ ἀδαμάστου ἵππου τὸν ἡνίοχον ἀποβαλόντος κατὰ βαράθρων ὠθουμένη, ἄκαμπτός τε τὸ σύνολον εὐεργεσίαις διαμένουσα. Διὸ καὶ τὰς πονηροτάτας φύσεις ἀμελλητὶ ἐκ μέσου ποιεῖσθαι ἐπάναγκες ἐπ' εὐνομίᾳ τῶν πόλεων, ἵνα μὴ τῆς παρ' αὐτῶν βροτολοιγοῦ λύμης καὶ λοιμώδους προστροπῆς καὶ πολιτεῖαι ἐπὶ πολὺ μεταλαμβάνωσι, τὰ μὲν πάσχουσαι, τὰ δὲ ποιοῦσαι ζήλῳ τε καὶ μιμήσει τῶν μοχθηρῶν. Εὐδίδακτον γὰρ ἡ πονηρία καὶ πρὸς ἀνοσιουργίαν εὐόλισθον, ἐπεὶ κατὰ τὸν μουσόληπτον Εὐριπίδην τὴν μὲν κακίαν καὶ ἰλαδόν ἔστιν ἑλέσθαι· καὶ αὖθις ἕτερος τὸν κακοῖσιν ὁμιλοῦντα δυοῖν θάτερον ἢ μαθεῖν ἢ παθεῖν τι τῶν αἰσχρῶν ἀνάγκη, ὡς καὶ τὸ Χωλῷ συνὼν ὑποσκάζειν μαθήσῃ ἐπ' αὐτὸ τοῦτο τείνει. Μυρία δὲ τούτων τὰ ὑποδείγματα πρεσβυγενῆ τε καὶ πρόςφατα, ἅπερ ἑκόντες παρατρέχομεν, τῇ σῇ ἀτιθάσῳ μοχθηρίᾳ ἀρκούμενοι. Σὺ γὰρ μόνος ὁ κακῶς τε καὶ ἐκ κακῶν φύς τε καὶ παιδευθεὶς καὶ ἐξ αὐτῶν ὡς εἰ-

1. δόξω μὲν 19-20. ἐπευνομίᾳ 21. μεταλαμβάνωσι 23-24. τοῦ μουσολήπτου 24. Εὐριπίδην. Ἐσφαλμένως ὁ συγγραφεὺς ἀναφέρει τὸν Εὐριπίδην. Τὸ χωρίον εἶνε τοῦ Ἡσιόδου Ἔργ. κ. Ἡμέρ. 287: τὴν μὲν τοι κακότητα καὶ ἰλαδόν ἐστιν ἑλέσθαι ἑλέσθαι 25. ἕτερος 27. μαθήσει 28. πρυσβηγενῆ 29. ἀτιθάσσῳ

ΕΡΓΑΣΤΗΡΙΟ ΔΙΕΘΝΟΥΣ ΕΠΙΣΤΗΜΟΝΙΚΟΥ ... ΙΩΑΝΝΙΝΑ 2006

πεῖν σπαργάνων τῇ κακίᾳ τρεφόμενος ἐπὶ πολλῶν βλάβῃ παντοῖα κακὰ καὶ ποικίλας ξυμφορὰς ‖ εἰς τὴν κοινὴν φύσιν παρηνόμησας, φ. 152α ἀξίως τοῦ ἀσήμου σου γένους καὶ ἀγωγῆς τῆς παραπλησίας πολιτευσάμενος. Οὐ γὰρ σὺ τῶν εὐπατριδῶν καὶ ἀρετὴν μετιόντων. Ἐῶ λέγειν μαχλοσύνας τὰς σὰς καὶ ἀκολασίας τὰς πλείστας, ἃς ἐκ νέου μέχρι σοῦ γήρως τούτου τοῦ καταπτύστου ἀναφανδόν, ὦ κυνῶπα, ποιεῖν οὐκ ἐπαύσω, ἵνα μὴ στόμα καὶ ἀέρα ῥυπαίνωμεν τῇ τούτων μακρᾷ ἀφηγήσει, ἅτε δὴ τῆς Αὐγείου κόπρου πολὺ πλέον δυςωδέστερον ἀποζούσας, κρηνῶν τε καὶ ποταμῶν καὐτῶν τῶν ὠκεανείων ῥείθρων εἰς καθαρισμὸν οὐκ ἐξαρκούντων.

Ταυτὶ τοίνυν πάντα εἰς βυθὸν λήθης παραπέμψαντες, ἑνός γε καὶ μόνου ἐπιμνησθῶμεν εἰς ἔλεγχον τῆς σῆς θηριογνωμίας καὶ ἀμειλίκτου φύσεως. |Σὺ τοιγαροῦν, ὦ ἐπάρατε, τοῖος καὶ τηλικοῦτος τὴν κακίαν διατελῶν ἡμᾶς τε καὶ πάντας σχεδὸν λέληθας, δορὰν προβάτου ἀμπεχόμενος, λύκος αἱμοβόρος διατελῶν, καὶ ἀλωπεκῆν περιεβάλλου, μονιὸς ἄγριος τὴν γνώμην τελέθων. Εἶτα, τὰ ἐν μέσῳ παρείς, παρὰ τῆς ἡμετέρας βασιλικῆς κηδεμονίας πολλῶν καὶ μεγίστων ἀγαθῶν καὶ τιμῶν ἀξιωθείς, ὕστατον καὶ εἰς ἀρχὴν ὑπερφέρουσαν καὶ ἀκροτάτην ‖ ἀνηγορεύθης, μονονοὺ ὡς βασιλεὺς προςκυνούμενος, σατραπῶν τε καὶ στρατοῦ ἀξιολόγου κύριος καταστάς, στρατοπεδαρχίαις τε φ. 152β γανύμενος πολλάκις καὶ πρῶτος σχεδὸν μετ' ἐμὲ γνωριζόμενος, ὥστ' ἄγειν τε καὶ φέρειν κατὰ γνώμην τὰ πάντα καὶ ὡς σοι βουλητὸν ἐπιτελεῖσθαι, καί, τὸ δὴ μέγιστον, πατὴρ παρὰ τοῦ ἐμοῦ κράτους προςαγορευόμενος, τῆς πρός σέ μου εὐνοίας καὶ εὐεργετικῆς διαθέσεως σήματα διὰ τούτου τε καὶ ἑτέρων φιλοτιμιῶν ἐνδεικνύοντος. Καὶ οὐκ ἂν τούτων γε ἔξαρνος γένοιο, ἡλίου τρανότερον διαλαμπόντων καὶ μονονοὺ πᾶσι τοῖς ὑπὸ τὸν οὐρανὸν φωνὴν ἀφιέντων. Ἀλλ' ὦ μηχανορράφε κακῶν καὶ κακοῖσι δόλοισι κεκασμένε, κερδαλεόφρον, τούτων ἁπάντων ἀλογήσας, καὶ παρ' οὐδὲν θέμενος, πολλῇ ῥύμῃ καθ' ἡμῶν ἐκινήθης, ζημίαις μὲν τὰς ἡμετέρας εὐποιίας ἀμείβων, ὠμότητι δὲ τὸ φιλάνθρωπον, καὶ ταῦτα προφάσεως εὐπροςώπου οὐδ' ἡςτινοςοῦν ἐπειλημμένος, ἀλλὰ ψιλῇ τῇ ἐνδομυχούσῃ εὐηθείᾳ φερόμενος, ἥτινι τὰ

7. ῥυπαίνω μὲν 9. καὶ ἐκ τοῦ καὶ τῶν ὠκυανείων 12. ἐπιμνησθῶμέν 17. βασιλικῆς ἐν τῇ φᾳ, ἐν δὲ τῷ κειμένῳ βασιλείας 24. εὐεργητικῆς 26. τρανώτερον 28. κερδαλεόφρων 31. οὐδὴηστινοσοῦν

πρῶτα κρύφα καὶ ἐν γωνίᾳ ὑπούλως ἐχρῶ, ἐπὶ τῇ ἐμῇ μοναρχίᾳ καὶ τῷ ἡμετέρῳ εὐσεβεῖ καὶ πολυαρίθμῳ στρατῷ δόλια φρονῶν, τοῖς δὲ ἡμῖν ἀντιπάλοις τὰ παραπλήσια διανοούμενος καὶ τῶν βασιλικῶν ὀργίων φ. 153α ἐκείνοις μεταδιδοὺς, βουλεύων τε καὶ προ||τρέπων αὐτούς, γῆς τῆς ἡμετέρας ἐπιβάντας καὶ πολὺ μέρος αὐτῆς μετὰ πλείστης ὅσης λείας καὶ ἀναριθμήτων φόνων καὶ ἀμυθήτου ἀνδραποδισμοῦ ἐπιδραμόντας, μεθ' ὅπλων τοῖς ἡμετέροις στρατοπέδοις προχωρεῖν καὶ ἀφειδῶς κτείνειν, παρεγγυώμενος αὐτοῖς εἰς ἀποστασιαν τὸ πλεῖον τοῦ ὑπηκόου ἀνεγεῖραι, σύμμαχός τε ἐκείνοις καὶ πάσης κακίας ποδηγέτης ἀναφανῆναι, σιτία τε καὶ παντοίαν ἄλλην τοῦ πολέμου ἀποσκευὴν αὐτοῖς μνηστευόμενος προῖκα μετὰ πολλῆς δαψιλείας. Ἀλλὰ ταῦτα μὲν ὕστερον ἐγεγόνει· τὴν ἀρχὴν δέ, ἡνίκα καὶ κατὰ τῶν πολεμίων παρὰ τῆς βασιλικῆς μεγαλειότητος ἐπετράπης ἐκστρατεῦσαι κἀκείνους λυμαίνεσθαι πολεμικαῖς ἐμπειρίαις καὶ στρατηγικαῖς παρατάξεσι, τὰ μὲν ἐκ τοῦ φανεροῦ, τὰ δὲ λόχους ἐγκαθιστῶν καὶ πῇ μὲν ἀκροβολισμοῖς, πῇ δὲ ἀγχιμαχίαις, οἷα καὶ ὅπως οἱ καιροὶ καὶ τὰ πράγματα ὑπαγορεύοι σοι, αὐτός, μετὰ πολλῆς χειρὸς τὴν ἔξοδον ποιήσας, καιρὸν ὃν ἐπόθεις οἰηθεὶς εὑρηκέναι, ποίων κακῶν καὶ ἀτυχημάτων τοῖς μετὰ σοῦ ἐκστρατεύσασιν ἀθλίοις παραίτιος οὐ κατέστης, τοῦτο μὲν λιμῷ, τοῦτο δὲ μελλήσει, ἄλλοτε δὲ προδοσίᾳ αὐτοὺς διαφθείρων, ὥστε, πολλῶν μυριάδων οὐσῶν ἐν ἀλλοδαπῇ καὶ μέσῳ τῶν πολεμίων, φ. 153β οὐδὲ τὸ πολλοστὸν || ἐπανεληλυθέναι; Ὁρῶν γὰρ αὐτοὺς ὀργῶντας καὶ εἰς μάχην σφαδάζοντας, λέουσι μεγαθύμοις παραπλησίως, καὶ τὸ ἐκείνων ἀνδρεῖον καὶ ἐν πολεμικοῖς ἀγῶσι δόκιμον καὶ ἐξησκημένον, ἀνεῖργες αὐτοὺς κακομηχάνως, κατ' ὀλίγον δὲ τοῖς δυσμενέσι παραδιδοὺς καὶ πάνυ βραχεῖς πολλοῖς ἐπιπέμπων καὐτοῖς αὖ καθεύδουσι τυχὸν ἢ ἀνακειμένοις ἄτερ (;) τὸ μὴ προσδοκᾶν πολέμιόν τι, τοὺς ὑπεναντίους αὐτοῖς ἐπῆγες ἐνόπλους τε καὶ ἐμπαρασκεύους· ἀνθ' ὧν καὶ πλείστων ἡρώων ἡμετέρων ἰφθίμους ψυχὰς Ἄϊδι προΐαψας, τοιάδε ῥᾳδιουργῶν. Ἀλλὰ τίς τῶν κομψῶν ῥητόρων καὶ περὶ λόγους δεινῶν ἀξίως ἐφίκοιτο τῶν σῶν ἀσεβημάτων; Ἅλις μέντοι καὶ τούτων, ἅτινα οὐκ ὀλίγοι τῆς ἐμῆς βασιλείας πιστοὶ θεράποντες καὶ ἐχέφρο-

2. πολιαρίθμῳ 5. ἐπιβάντες μεταπλείστης ὅσης προστεθειμένον ἐν τῇ ὤᾳ 6. ἐπιδραμόντες 9-10. ἀναφανῆναι 13. κἀκείνους 27. το γραπτέον τοῦ; προσδοκᾶν 29. ἡρώων Ἰλιάδος Α, 3 προΐαψας

νες ἄνδρες καὶ ἄριστοι τὰ πολεμικὰ καὶ τῶν πολιτικῶν οὐκ ἀδόκιμοι, αὐτοψεὶ ὁρῶντες καὶ τὴν σὴν εὐήθειαν καὶ ἀγνωμοσύνην κακίζοντες ἤσχαλλον, ἀπεδυσπέτουν, ἐν δεινῷ ἐποιοῦντο τὴν συμφοράν, ἤλγουν περὶ τῶν παρόντων, ἐδεδίεσαν περὶ τῶν μελλόντων, τί δρᾶσαι ἀμηχανοῦντες, βασιλικαῖς ἀκοαῖς ἔκπυστα ποιῆσαι οὐκ ἐθάρρουν, τὸ ἐμὸν πρὸς σὲ εὔνουν, μιαρώτατε, ὑφορώμενοι. Οἱ δὲ τὸ μέγεθος τῶν ἀτοπημάτων σου οὐκ ἐνεγκόντες καὶ τοῦ ἐπηρτημένου ‖ κινδύνου καλῶς φ. 154α ἐν περινοίᾳ γενόμενοι καὶ ὑπὲρ τοῦ κοινοῦ λυσιτελοῦντος ἑαυτῶν ἀφειδήσαντες, ἐτόλμησαν τῇ ἐμῇ δῆλον ποιήσασθαι βασιλείᾳ, ὡς τὰ τῶν πολεμίων φρονεῖς καὶ ὡς μετ' οὐ πολὺ συχνῶν καὶ μεγίστων κακῶν παραίτιος γενήσῃ· ὅθεν, πρὶν ἢ φθάσαι ταῦτα γενέσθαι, δεῖν ἡμᾶς, τῶν καιρῶν προτερήσαντας παραλῦσαί σε τῆς ἀρχῆς καὶ δεσμωτηρίῳ καθεῖρξαι, ἔςτ' ἂν τὸ ἀκριβὲς μετὰ πολλῆς διαγνῶμεν βασάνου, κἤν ποτε αὐτοὶ ἐλεγχθῶσι κατὰ σοῦ ψευδόμενοι, ἔφασκον παντοίας ποινὰς ὑφίστασθαι. Καὶ ταυτὶ μὲν οἱ ἀγαθοὶ ἐκεῖνοι καὶ φιλόκαλοι ἄνδρες ἔλεγον ἀληθίζοντες. Ἔγωγε δὲ τέως οὐκ εἶχον πεισθῆναι, ἀναπολῶν τὰς περὶ σέ μου εὐεργεσίας καὶ μεγίστας φιλοτιμίας καὶ δωρεὰς καὶ τὸ σὸν γῆρας αἰδούμενος, καὶ μάλιστα οὐδὲ ἐλπίζων τοιαύτας μοχθηροτάτας φύσεις τὸ ἀνθρώπινον τρέφειν φῦλον. Ἀμέλει τοι καὶ διαβολὴν τὸ πρᾶγμα οἰηθεὶς ἢ καὶ τῷ καιρῷ χαριζόμενος μακροθύμως, τοὺς μὲν αὐτὸς ἐγὼ ἠμυνάμην, τοὺς δὲ ἀπέσταλκά σοι ὅπως ἂν βούλοιο αὐτοῖς χρήσασθαι· οὓς καὶ ἀνυπερθέτως διεχειρίσω, τὸν παρ' αὐτῶν ἔλεγχον δεδιώς. Τί τὸ ἐντεῦθεν; ἆρα τὴν πονηράν σου φύσιν καὶ μοχθηρὰν προαίρεσιν εἰς τὸ κρεῖττον μετετρέψω; ἆρα τὴν κακίαν ἀπομαθεῖν ἐμελέτησας; τάχα ‖ συμφρονεῖν ἐδιδάχθης καὶ φ. 154β καθήκοντα περὶ ἡμῶν τῶν εὐεργετῶν σου φρονεῖν ἐδοκίμασας, εἰς μετάμελον ἐλθὼν τῶν κακῶς σοι πραχθέντων; Πολλοῦ γε καὶ δεῖ. Φύσιν πονηρὰν καὶ γνώμην σκαιὰν μεταβαλεῖν οὐ ῥᾴδιον, καὶ μάλιστα συγγηράσασαν. Αὐτοκράτωρ γὰρ οὖσα ἡ μοχθηρία πρὸς τὴν ἀπόνοιαν ἤγειρεν. Ὅθεν μικρὰ τὰ πρότερον ὑποτοπάσας, μείζονα καὶ πολλῷ χείρω ἐνεθυμήθης αὐτουργῆσαι, καί, βασκάνοις ὀφθαλμοῖς τὴν εὐτυχίαν τῆς ἐμῆς βασιλείας ἰδών, τὴν ἀπώλειαν αὐτῆς ἐπόθεις θεά-

3. ἤσχαλον 4. ἐδεδίεισαν δράσαι 11. φθάσαι 12. προτερήσαντας παραλύσαι 13. μεταπολλῆς διαγνῷμεν 14. ἐλεχθῶσι 22. αὐτῶν 25. ἐμελετήσω 32. ἀπόλιαν

σασθαι, καὶ πολλῷ πλέον τῇ αὐτῆς ἐπιδόσει ἠνιῶ ἢ χαίρων καὶ ἐνηδόμενος τοῖς οἷς εἶχες ἀγαθοῖς παρ' αὐτῆς ἀπολαύσας· διὸ καὶ πάντα κάλων, τὸ τοῦ λόγου, κινήσας, ἀνατρέψαι ταύτην καὶ εἰς ἔσχατον περιστῆσαι κίνδυνον ἐμηχανήσω. Τούτου γὰρ ἕνεκα καὶ πολεμίους ἠνάγκασας ἀπελθεῖν καὶ γῆς τῆς ἡμετέρας καταδραμεῖν, πολλαῖς ἐπαγγελίαις αὐτοὺς θαρρύνας οἷς σεαυτὸν συνῆψας, καὶ σφοδρότερον καθ' ἡμῶν ἔπνευσας, ἅτε τῶν ἡμετέρων οὐκ ἀδαής.

Διὰ σέ, ὦ ἀσεβέστατε, πόλεις ἐρείπιοι ἐγένοντο, κῶμαι ἀνεσκάφησαν, ἀγοραὶ μυρίανδροι ἀπετεφρώθησαν· ἀνδραποδισμοὶ διὰ σὲ πολλοί, φόνοι παμπληθεῖς ἀνδρῶν, γυναικῶν, παίδων, νεογνῶν, ἄστεων φ. 155α ἐρημώσεις. Φυλέτας κατὰ ξυμφυλετῶν ‖ καὶ αὐθιγενεῖς κατὰ πατριωτῶν καὶ συγγενεῖς κατὰ ὁμογνίων τὰ ξίφη κινεῖν σύ, δολομῆτα, παρεσκεύασας. Αὐτός με καὶ τὰς ἐμὰς χεῖρας χρᾶναι αἵματι Χριστιανῶν τῶν διὰ σὲ ἀποστάντων ἄκοντα ἠνάγκασας. Οὐκ ἦν ἄλλως τὸ κακὸν λωφῆσαι εἰ μὴ διὰ φασγάνων καὶ πυρός, διὰ τὴν τῶν πλειόνων σωτηρίαν καὶ τῆς βασιλείας ἀσφάλειαν, ὧν τὸ κρῖμα ἐπὶ σὲ καὶ ἐπὶ τὴν σὴν κακὴν κεφαλήν. Πόσων δραμάτων ταῦτα ἱστορίαι; Τίνες ἀρκέσουσι τραγῳδίαι τῷ πάθει; Πόσαι σκηναί; Βάρβαρος μῦθος ἦν τὰ Κυκλώπων, τῶν ποιητῶν κόμπος τὰ Λαιστρυγόνων.

Διὰ ταῦτα χρὴ ἀτιμωρητὶ ἀπολῦσαί σε καὶ ἐν τοῖς ζῶσιν εἶναι; Ὢ πῶς οὐκ αἰσχύνῃ, πῶς οὐ συγκαλύπτῃ, καὶ γέρα, ὡς ὁρῶ, παρ' ἡμῶν ἀξιοῖς λαμβάνειν τῆς τοιαύτης ἕνεκα ἀνδραγαθίας; Ὀναίμεθα τοιούτους εὐεργετοῦντες. Τοῦτο ποιοῦντες, πᾶν τὸ ὑπήκοον ἀποστατοῦν καὶ ἀφηνιάζον ἐν βραχεῖ ὀψόμεθα, περὶ τὸ ζῆν οὐ κινδυνεῦον, οὐθ' ὅλως βασάνων γευόμενον. Τυμβογέρον, οὐ χρήσομέν σου διδασκάλου, οὐ τοῦ συμφέροντος βουλευτοῦ. Ταῦτα σαυτῷ καὶ τοῖς ἐμοῖς ἀντιπάλοις ὑποτίθου (;) Αἱ σαὶ βουλαί σέ τε καὶ τοὺς ἡμῶν πολεμίους ἐν τῷδε κακοῦ περιήγαγον, καὶ εἰς ὄλεθρον ἀκριβῆ ὄνειδος αἰώνιον φ. 155β ἐκληρώσω, ἀνούστατε, κίνησιν ‖ κεφαλῆς ἐν τοῖς λαοῖς. Τοῦ θεοῦ ἀπέστης, τῆς ἄνω κληρουχίας ἐξέπεσες, δυςκλεῶς τὴν ψυχὴν ἀπορρήξεις. Τὸ γῆράς σου ἄτιμον καὶ μετὰ θάνατον ζόφος ἡ κατοικία σου. Συνεστίους τοὺς δαίμονας κληρωθήσῃ ὡς ὁμόζηλος, τὸν Ἰούδαν ὡς προδότης σύνεδρον, τοὺς τὸν δεσπότην Χριστὸν ἀποκτείναντας Ἰουδαίους ὁμοροφίους, ἐπεὶ καὶ αὐτὸς πολυπληθεῖς Χριστιανῶν ἀγέλας ἀποσφα-

14. χράναι 16. κρίμα 19. λαιστρυγώνων 22. ὀνέμεθα 31. γῆρας

γῆναι ἄξιος γέγονας. Τί σοι τὸ κέρδος τῆς ἀποστασίας ἐν τοιῷδε ἀκλήρῳ γηρατείῳ; Τίνος χρείαν εἶχες; Τί σοι ἐνέδει ἐμοὶ ὑπακούων καὶ τῆς ἐμῆς εὐνοίας ἀξιούμενος; Οὐκ ἦσθα περίδοξος; οὐ περιμάχητος; οὐκ ἐν ἐξουσίαις; ἐν τιμαῖς; ἐν προεδρίαις; οὐ πανταχοῦ περιλαλούμενος; οὐκ ἦν σοι χρυσός, ἄργυρος καὶ πᾶς τις ἄλλος χρηματισμὸς καὶ πολυτέλεια, τάλαντα ἐπὶ ταλάντοις κείμενα; Τί σε ἠνάγκασεν εἰς ἀνταρσίαν ἀπιδεῖν; Ποῖαι ἐρινύες; ποῖοι ταρτάριοι δαίμονες; ἡ σὴ δήπου ὑπερβάλλουσα κακία τοιαῦτα ἀσεβεῖν ἐδίδαξε καὶ τὸ παρ' ἀξίαν εὐτυχεῖν. Αἱ γὰρ ἀνάγωγοι καὶ πονηραὶ φύσεις, τιμῆς καὶ πλούτου ἀναξίως δραξάμεναι, οὐκ οἴδασιν ἡσυχίαν ἄγειν, οὔτε μὴν σωφρονεῖν, ἀλλὰ πέρα τοῦ δέοντος ὑπεραρθεῖσαι, ὑβρίζουσιν, ἀτακτοῦσι, τοῖς εὐεργέταις ἐπιβουλεύονται, τοῖς τιμήσασιν ἐπεμβαίνουσιν, ἀκολασταίνουσι, || (φ. 156v) καταφρονοῦσι, θεοῦ οὐκ ἐπιστρέφονται, θανάτου ἀμνημονοῦσιν, ἀνθρώποις ἀτίθασοι, πλουσίων συκοφάνται, πένησιν ἀσυμπαθεῖς, χηρῶν ὑβρισταί, φθορεῖς παρθένων, ὀρφανῶν ἅρπαγες, ἀθεΐαν νοσοῦσιν ὡς ἀχάριστα κτίσματα, πρόνοιαν ἀπαναίνονται, τῷ αὐτομάτῳ προσκυνοῦσι, τύχῃ δουλεύουσι, χοιρώδη διανύουσι βίον, μαχλοσύνης οὐκ ἀφίστανται, Ἀφροδίτην σεβάζονται, Διόνυσον ἀσπάζονται, Ἑρμῆν κλεπτίστατον θειάζουσιν.

Ἀλλ' ὦ κακίας αὐτοφυὲς ἴνδαλμα, ὦ αὐτόχρημα πονηρία, διὰ ταῦτά σε ζῆν ἐάσω, ὡς μὴ ὁ χρόνος ἐξίτηλα ποιήσῃ, ἵνα καὶ παρὰ βασιλέων δοξασθείην καὶ τιμῆς παρὰ πᾶσι τύχοιμι, περὶ σὲ φιλανθρωπευόμενος; Ναὶ μὴν καὶ τὸ θεῖον εὐίλατον σχοίην συγχωρῶν τῷ προσκεκρουκότι μοι ὡς εὖ ἱεροδιδασκάλων ἀποφαίνῃ. Πόθεν ἡμῖν ὁ νέηλυς θεολόγος καὶ τῶν θείων γραφῶν μύστης, ὁ νέος θεσμογράφος καὶ τεράστιος χρησμολόγος; Ἀλλ' οὐκ ἀπὸ τρίποδος χρυσηλάτου οἱ χρησμοί σου· λοξὰ προφοιβάζεις, μάντις εἶ κακῶν, ἔχθιστε· μῦθος ταυτί σοι πάντα καὶ οὐδὲν ὑγιές. Τούτοις θαρρεῖς τὸ ζῆν ὑποκλέψαι; τούτοις τὰς ἐμὰς ὑποσκελίσαι φρένας; Ἥκιστα. Πέρας εἰλήφασιν οἱ σοὶ φενακισμοί. Ἅλις τῶν σῶν || (φ. 156r) ἐρεσχελιῶν· μὴ κλέπτε νόῳ τοιόσπερ ἐών, ἐπεὶ οὐ παρελεύσεαι οὐδέ με πείσεις· οὐ γὰρ πώποτέ μοι τὸ κρήγυον εἶπας. Θανεῖν ἀνάγκη. Τῷ χρόνῳ τὰ καινὰ ἥκιστα ὑπὸ λή-

3. ἧς 7. ἐρυνυίες 9. ὡς γὰρ 12. ἀκολασθαίνουσι 14. ἀτίθασσοι 18. ἀσπάζονται 30. κλέπτε νόῳ Ἰλιάδος Α 132 31. πώποτε Ἰλιάδος Α' 106

θης ἀφανίζεται. Ἐὰν συμπαθὴς περί σε φανείην καὶ θανάτου οἰκτροτάτου ἀπαλλάξαιμι, οὐδεὶς ἂν νοῦν ἔχων ἐπαινέσειέ με. Οὔτε γὰρ αὐτὸς τὴν κακίαν ἀπομαθήσῃ, ἀλλ' ἀεὶ πολέμια καθ' ἡμῶν ἴση τυρεύων καὶ βουλευόμενος, χἀτέρους ἐν τούτῳ παιδοτριβῶν καὶ ἐπαλείφων, ἥκιστα δὲ παρά τε τῇ ἐμῇ βασιλείᾳ κἀπὶ ἄλλων ἀρχῶν τοιοῦτοι κατὰ σὲ ἐκλείψουσι ῥᾳδιουργοῦντες καὶ τοῖς ἰδίοις δεσπόταις ἐπανιστάμενοι, ἐξὸν αὐτοῖς τῇ προςποιήτῳ μετανοίᾳ τὸ ζῆν θηρᾶσαι. Τί δαὶ καὶ νόμοι ἐν ταῖς πολιτείαις ἐτέθησαν, ἢ οὐχ ἵνα οἱ μὲν καλοί τε κἀγαθοὶ τιμῶνται, οἱ δὲ κακοὶ τιμωρίας ἀπολαύωσι; Τί δαὶ καὶ τὸ θεῖον τοῖς ἀμετανοήτως ἁμαρτάνουσιν ἐπεξέρχεται; Ἴσθι, ὦ ἀκριτόμυθε, ὡς οἱ ἅπαξ μὲν ἢ καὶ δίς, μέτρια δὲ καὶ ἰδίᾳ πλημμελήσαντες καὶ οὐκ ἐκ μελέτης, ἀλλὰ κατὰ συναρπαγὴν καὶ ἀπρονοήτως, οὗτοι συγγνώμης μεταμεληθέντες ἀξιωτέοι, οὐχ οἱ τὰ κοινὰ ἀνατρέψαι σπουδάσαντες, οὐχ οἱ πολλῶν πόλεων ὀλετῆρες, οὐχ οἱ τὴν κακίαν ἀρετὴν οἰόμενοι, οὐχ οἱ μυρίων θανάτων παραίτιοι, οὐχ οἱ μεταμέλειαν
φ. 157α εἰρωνευόμενοι παραι||τητέοι. Ἄπαγε τῆς τοιαύτης θεσμοθεσίας.

Σύ γε οὐ τοσοῦτον ἐπὶ τῷ ἀπειλουμένῳ μόρῳ ἄχθῃ ὅσον ἐπὶ τῷ μὴ σχεῖν σε εἰς πέρας ἀγαγεῖν τὰ δυςσεβῶς ἐφ' ἡμῖν μελετηθέντα σοι καὶ ὅτι οὐ πολλοὺς ἔπεισας τὴν ὁμοίαν σοι ἐλθεῖν ὁδὸν καὶ διαδόχους καταλιπεῖν τῆς σῆς μοχθηρίας τοῖς ἰδίοις ἀντιπράττοντας δεσπόταις καὶ τῶν εὖ ποιησάντων κατεπαιρομένους. Δέεσαι τοῦ ζῆν, οὐχ ὅπως διὰ μετανοίας ἀφεθῇ σοι τὰ πλημμελήματα, ἀλλ' ἐλπίζων καιροῦ εὐστοχῆσαι τὰ ἡμέτερα καιρίως λυμήνασθαι, τό γε νῦν εἶναι ἀποτυχών. Πολλοὺς γὰρ ἐλπίδες ἀγαθαὶ πρὸς γῆρας μετὰ πενίας παρέπεμψαν, σκιαῖς ὀνειράτων δελεαζομένους. Ταῦτά σε ἀνιᾷ, ὑπεροπευτά, οὗ σοι τὸ τῶν προτέρων μεταμέλειν.

Εἴπερ, ὦ ἐμβρόντητε, τί μέλειν σοι οὐκ ἦν ὡς τῷ Προμηθεῖ, ἔδει σοι γοῦν τὸ μεταμέλειν προςεῖναι ὡς καὶ τῷ Ἐπιμηθεῖ, ἵνα κἀπὶ σοὶ ἐπᾴδηται Μαζέπας Προμηθεὺς ἀεὶ μετὰ τὰ πράγματα.

Ἐχρῆν, εἰ σὺν ἀληθείᾳ κατεγίνωσκες σεαυτοῦ, τοῦτο ἐμφανὲς ποιῆσαι πρὶν τῆς τύχης πειράσασθαι, πρὶν τὸν κύβον ἀναρρῖψαι, πρὶν ξὺν τοῖς πολεμίοις διὰ μάχης θρασυνθῆναι ἡμῖν ἐλθεῖν, πρὶν ἡττηθῆ-

3. ἀεὶ 9. κἀγαθοὶ 16. παραιτέοι 20. ἀντιπράττοντες
22. ἀφεθῆναι 23. λυμήνασθαι 25-26. ὑποροπευτά 26. τῷ
28. κἀπί 29. ἐπάδηται 30. ἐχρῆν συναληθεία 29. ἀναρρίψαι

ναι, πρὶν νῶτα δοὺς ἀποδρᾶναι, πρὶν εἰς ἑτέρους || φ. 157ν ἀπιδεῖν προςπεφευγώς, πρὶν εἰς ἡμᾶς χεῖρον παραδοθῆναι. Ἀλλ' ἡνίκα τοῖς ἀντιπάλοις συνὼν τροφῶν ἐπλήρους, ὅτε αὐτοῖς συνεβούλευες γενναίως φέρειν τὰ παρόντα, ἀνδρείως ἀγωνίζεσθαι, μεμνημένους τῆς πάλαι αὐτῶν θούριδος ἀλκῆς καὶ μὴ βούλεσθαι χείρους ἐλεγχθῆναι τῶν ἑαυτῶν μέγ' ἀλκίμων προγόνων, δι' ἐλπίδος ἦν σοι καὶ ἕτερα φῦλα καθ' ἡμῶν ἀνεγεῖραι τὴν εἰρήνην παρασπονδήσαντα, τηνικάδε μεταμελητέον σοι καὶ τοῖς βασιλικοῖς ἴχνεσι προςδραμητέον, ἔλεόν τε ἐξαιτητέον, οὗπερ τυχὸν οὐκ ἂν ἀμοιρήσειας, οἷα περ καὶ ἕτεροι πλεῖστοι ὡδὶ πράξαντες φιλανθρώπων ἡμῶν ἐπειράθησαν. Νυνὶ δὲ πάντων σοι περιαιρεθέντων, πάντων ἐκποδὼν γενομένων, καὶ μόνος ἀπολειφθείς, μεταμέλειαν ὑποκρίνῃ, κροκοδείλου δάκρυα προχέων. Οὐκ ἤδη σοι καιρὸς ἀφέσεως, οὐ συμπαθείας, ἀλλὰ βασάνων, ἀλλὰ ἐκδικήσεως, ἀλλὰ θανάτου. Παρῆλθέ σοι ἡ πανήγυρις τοῦ βίου, τὰ ἐν Ἅδου κολαστήριά σε περιμένει, ὥςτε μὴ βράδυνε.

Σκεψώμεθα δὲ καὶ ἄλλως, εἰ βούλει, ἀκριβεῖς διαιτηταὶ τῶν πραγμάτων γενόμενοι, εἴ σοι φιλανθρώπως τυχὸν χρησόμεθα, τὸ ζῆν σοι δωρησάμενοι. || φ. 158α Ποίοις ὀφθαλμοῖς ὀψόμεθα τὰς διὰ σὲ ἀναριθμήτους χήρας τὰς πενθούσας τοὺς ἰδίους συνεύνους, τὰς κοπτομένας, τὰς παρειὰς ἀμυσσούσας. Πῶς ὑποίσομεν τῶν ὀρφανῶν τὰς οἰμωγάς, τῶν μητέρων τὰς ὀλολυγάς, τῶν πατέρων τοὺς θρήνους τοὺς μύχιον βρύχοντας καὶ ἄλλων οὐκ ὀλίγων τὴν ξυναυλίαν; Πῶς ἀναστείλωμεν τοὺς ῥύακας τῶν αὐτῶν δακρύων, παραμυθήσομεν τὴν λύπην, πῶς ἀνακουφίσομεν τὸν ὄγκον τῆς ἀθυμίας, σὲ ἀτιμώρητον παρέντες; Οἱ γὰρ παρ' ἑτέρων δυστυχήσαντες καὶ εἰς πεῖραν κακῶν ἐλθόντες μιᾶς παραμυθίας ἀπρὶξ ἔχονται κἀπ' ἐκείνης σαλεύουσι, τοὺς βλάψαντας τιμωρουμένους ἰδεῖν καὶ τὰ παραπλήσια φέροντας.

Προςέτι καὶ πῶς τοὺς καλῶς διαθεμένους ἐν ταῖς πολιτείαις νόμους τιμᾶν δόξαιμεν, τοὺς παρανομοῦντας οὐκ ἀμυνόμενοι; πῶς δὲ ταῖς πόλεσιν εὐνομίαν παράσχοιμεν, τοὺς δημεγέρτας παρατρέχοντες; πῶς τὰ καλὰ ἐπίδοσιν λάβοι τῶν φαύλων οὐ κολαζομένων; ὅπως τε φιλο-

1. ἀποδράναι 2. χεῖρα[ον] 6. μεγαλκίμων 15. παραμένει 20. ὑποίσομέν 22. ἀναστείλω μὲν 23. παραμυθήσομέν 24. ἀνακουφίσωμεν 26. κἀπ' 30. τιμᾷν δόξαι μὲν παπαράσχοιμεν

δίκαιος βασιλεὺς ἐγὼ λογισθείην, σὲ ποινῶν καὶ φόνου ἀπαλλάττων; Πάντα ἠχήσεται, πάντα φύρδην, πάντα κυκεὼν ἐν βραχεῖ γένοιτ' ἄν, σοῦ ἀπολυθέντος. Τί σε ἐργάσομαι; πῶς σοι χρήσομαι οὐκ οἶδα. Μή μοι τὸ γῆρας πρότεινε καὶ ὡς πέμπελος ἀνὴρ οὐ δύναται βλάψαι.
φ. 158β || Προθυμία γὰρ καὶ ἐν γέρουσι παρέπεται κἂν ταῖς ἀνάγκαις πᾶς γέρων ἐστὶ νέος κἂν τοῖς χείλεσιν ἡ τῶν λόγων πειθὼ ἱκάνοι. Θάνατον τοίνυν δικαίως καταψηφιζόμεθά σου, καὶ πρὸ ἡμῶν οἱ νόμοι ὧν ἡμεῖς ἔφοροι καὶ δικασπόλοι, ὄφρ' εὖ εἰδῇς ὅσσον φέρτερός εἰμι σέθεν, στυγέῃ δὲ καὶ ἄλλος ἶσον ἐμοὶ φάσθαι καὶ ὁμοιωθήμεναι ἄντην. Μὴ ἀναξιοπαθεῖν ὑποτοπάσῃς. Οὐ δεινὰ γὰρ πάσχειν δεινὰ τοὺς εἰργαμένους. Ἄξια οὖν ὧν ἔπραξας ἀπολήψῃ. Οἰκτείρω τὸ ὁμοφυές, ἀλλὰ τοῦ δικαίου μᾶλλον ἀντέχομαι.

Ἀρκεῖ ταῦτα· σύνοιδα γὰρ τοῦ μέτρου ἐκπεσών, ἀλλ' οὐ χρὴ μέτρον φυλάττειν πρὸς τοὺς ἀμέτρως πλημμελήσαντας, οὔτ' ἐν τοῖς ἀτάκτοις καὶ ἀκόσμοις τάξιν λόγων καὶ εὐρυθμίαν ἐπιζητεῖν.

Ἀπόστηθι τοίνυν ἀπ' ἐμοῦ, ὦ παγκάκιστε. Ἔρρε, κακὴ γλήνη. Μείζων ἡ ἁμαρτία σου τοῦ ἀφεθῆναί σε.

Λάβετε αὐτόν, ὑμεῖς οἱ δήμιοι· τιμωρήσατε καὶ ἀνηλεῶς βασανίσατε· μεληδὸν αὐτὸν κρεουργήσατε· βρῶμα τοῖς κυσὶ παράδοτε οἰωνοῖσί τε πᾶσι· τῶν θηρίων τὰς κοιλίας τάφον ἐχέτω· οὐ γὰρ ὅσιον εἰς γῆν κατορυχθῆναι, ἣν ὁμογνίοις καὶ ἀνθρωπίνοις αἵμασι κατέχρανε.

φ. 159α || Ἐπίγραμμα γνωμικόν.

Τοῖσι κακῶς ῥέξασι δίκης τέλος οὐχὶ χρονιστὸν
οὐδὲ παραιτητόν, καὶ εἰ Διὸς ἔκγονοι εἶεν.

Ἕτερον γνωμικόν.

Οἷα τ' ἀνὴρ ῥέξει, τοῖον τέλος αὐτὸν ἱκάνει.

5. προπροθυμία 5. κᾶν ἱκάνει 6. παῖς κᾶν Τὸ (δικαίως) ἐν τῇ ᾤᾳ 8. ὄφρ' Ὁμήρου Ἰλιάδος Α 185 κ. ἑ. 9. ἄλλως ἶσον 14. οὔτ' 17. ἀφεθεῖναι 21. κατεχράνη 23. Πρβλ. Αἰλιανοῦ Ποικίλ. ἱστορ. Γ' 43. παραίτητον

Η. Σ. Λάτης Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

|| Μελέτη. φ. 160r

Τίνας ἂν εἴποι λόγους Μαζέπας, μετὰ τὴν ἀποστασίαν καὶ τὸν πόλεμον κρατηθεὶς ὑπὸ τοῦ φιλοχρίστου βασιλέως Πέτρου καὶ μέλλων φονευθῆναι.

Οἶδα μέν, οἶδα, ὡς μεγάλα τε καὶ ἀσύγγνωστα τῇ μεγίστῃ σου προςκέκρουκα βασιλείᾳ ὥςτε μηδὲ στόμα διᾶραι ἔχειν καὶ παρακλήσεως λόγους ἀφιέναι, ὃ τοῖς πλημμελήσασιν οὐ τὸ τυχὸν παραμύθιον καὶ πρὸς σωτηρίαν ἐλπίς. Φύσει γὰρ τοῖς ἀτίμοις λόγων οὐ μέτεστι. Διὸ τὰς ὄψεις ὑπ' αἰσχύνης τῇ γῇ ἐπερείσας, τοῦ συνειδότος ἐλέγχοντος, ἀνακῦψαι οὐ δύναμαι καὶ τὰς σὰς ἀντοφθαλμῆσαι προςηνεστάτας κόρας. Νέφος γάρ μου ἀθυμίας τὸν νοῦν ὑπελθὸν εἰς πολλὴν σκοτόμαιναν περιήλασεν, αἱ αἰσθήσεις δέ μου ξύμπασαι οὐδὲν ἄμεινον νεκροῦ εἰσι διακείμεναι, πλὴν ὅσον αἰσθάνεσθαι τῶν ὧν διεπραξάμην δεινῶν καὶ ἀλγεινῶν τῶν ὅσων οὔπω προςδοκωμένων μοι· οἷς ὁμιλῆσαί με δέον, ἀντιποίνοις τῶν ἀφρόνως, μᾶλλον δὲ δυςσεβῶς τολμηθέντων μοι.

Πᾶσα οὖν μοι περιαιρεῖται ἐλπίς, μείζω συγγνώμης παντάπασι δράσαντι. Θείων νόμων ὀλιγώρως ἔσχον, ἀπειργόντων δεσπόταις τε καὶ εὐεργέταις ὁπωςδηποτοῦν ἐπεμβαίνειν καὶ ἐναντία ἐκείνοις φρονεῖν· ἀνθ' ὧν καὶ πολέμιον πρώτιστον θεὸν τὸν || παντεπόπτην, οἴμοι, ὑπ' ἀνοίας κεκλήρωμαι, ὅς με τὸ τοσούτοις τε καὶ τηλικούτοις χαλεπωτάτοις καὶ ἀφορήτοις προςομιλῆσαι πάθεσιν εὖ μάλα ἐν δίκῃ παρακεχώρηκεν. φ. 160v

Ἔρημος ἀγγελικῆς συμμαχίας καὶ πάσης ἄλλης τῶν Ἀσωμάτων ἀρωγῆς ἀπελείφθην ὡς ἀντίθεος καὶ πέρπερος παλαμναῖος. Ἄνθρωποί με μυσάττονται καὶ ὡς δυςάντητον κακὸν καὶ ἀποφράδα ἀποστρέφονται καὶ οὐδὲ ἰδεῖν με ἢ ἀκοῦσαι τὸν πρὶν περισπούδαστον ἀνέχονται, μήτοι γ' ἐντυγχάνειν καὶ φωνῆς ἡμετέρας ἐπαΐειν. Καί γε εἰκός· θηρίων γὰρ ἀγριωτάτων καὶ αἱμοβόρων δίκην κατ' αὐτῶν ἐμμανῶς ἐκινήθην, μυρίους αὐτῶν ἔργον ξίφους καὶ πυρὸς παρανάλωμα παρασκευάσας γενέσθαι. Πόλεις ὅλαι καὶ κῶμαι συχναὶ δι' ἐμὲ ἀνεσκάφησαν· γυναῖκες χῆραι δι' ἐμὲ κατελείφθησαν· παῖδες, πατέρων

6. διάραι 9. ἐπέρεισας 10. ἀνακύψαι 12. δέ τε μου 13. εἰσὶ 19. ὁπωσδηποτιοῦν 20. πρότιστον 24. ἀρρωγῆς 24-25. ἄνθρωποι μὲ

τε καὶ μητέρων ἀπορφανισθέντες, τὴν ἐρημίαν αὐτῶν μετὰ πολλοῦ κωκυτοῦ ὀλοφύρονται· γονεῖς, τέκνα καὶ συγγενεῖς τοὺς οἰκείους οἰκτρῶς ἀποστέρονται καί, ὡς ἔπος, Ἰλιὰς κακῶν συνερρύη, πάθη τ' ἐκεῖνα καὶ ξυμφορὰς ἀρηιφάτους τὰς τὸ Ἴλιον πάλαι ποτὲ περισχούσας οὐ ῥαψῳδοῦντός μου καθ' Ὅμηρον, ἀλλὰ δόλοισι κακομηχάνοις
φ. 161α ἀνθρώποις ὁμοφύλοις ‖ καὶ Τριάδος συλλατρευταῖς ἐπαγαγόντος καὶ πολλὴν πολεμικὴν φλόγα ἀναρριπίσαντος.

Ἀλλὰ τί δεῖ μοι καθ' ἕκαστα ἐπεξιέναι τὰ ἅ μοι κεκακούργηται, ἐμαυτὸν μὲν τῇ τούτων ἀφηγήσει καὶ τῇ εἰς νοῦν ἀναλήψει ἐξ οἵων εἰς οἷα μεταπέπτωκα ἐκτήκων καὶ πυρπολῶν τήνδε σου [τὴν] βασιλικωτάτην μεγαλόνοιαν εἰς ὀργὴν πλείονα καὶ κότον παφλάζοντα ὑπεκκαίων, οὐ μὴν ἀλλὰ καὶ τοὺς ἐν τέλει κᾀυτῇ παρεδρεύοντας, ναὶ μὴν καὶ τὸν σύγκλυδα καὶ περιιστάμενον ὄχλον ἐπ' ἐμοὶ ἐρεθίζων, μικροῦ δεῖν σπαράξαι με ἢ ἀνασκινδυλεύσασθαι ὀργῶντα καὶ προθυμούμενον. Ἄλλως τε καὶ τὰ αἰσχρὰ καὶ παγκάκιστα ὡς θέμις μὴ πράττεσθαι, οὕτω τοι καὶ λέγεσθαι ἀηδές τε καὶ ἀνόσιον εἶναί μοι δοκεῖ. Περιστέλλειν τε γὰρ χρὴ τὰ σιωπῆς ἄξια καί, ἑτέρων διηγουμένων, τοὺς αὐτόχειρας ἐρυθριᾶν προσήκει. Ἅλις οὖν μοι τῶν τοιούτων λόγων· εἴθε μηδὲ τούτων εἰς μνήμην ἐλθεῖν ἀναγκασθῆναι καὶ πολὺ τούτων πρότερον τὴν γῆν μοι χάναι κᾀμὲ τοῖς αὐτῆς μυχαιτάτοις κόλποις ζῶντ' ἔτι εἰςδέξαιτο, πρὶν δῆλον ὅτι εἰς τόδε κακοῦ κατολισθῆσαι καὶ ῥέκτην ἀνοσιουργημάτων ἀναφανῆναί με ἃ μηδὲ φαντασθῆναί μ'
φ. 161β ὤφελον. Ἐπεὶ δ' ἐπὶ κακῷ μοι ταυτὶ πέπρακται, τῆς τύχης μοι ‖ φθονούσης, πολὺ λῷον ἦν τὸν δυςκλεᾶ καὶ δυςώνυμον βίον ἐκτετοξεῦθαι ἢ ζῶντά μ' ἀπαχθῆναι καὶ τῇ ἡμετέρᾳ θεοεικέλῳ μορφῇ ἀντιπρόςωπον στῆναι, λόγον τῶν ῥᾳδιουργημάτων εἰςπραττόμενόν καὶ δίκας ὑπέχοντα ἐφ' οἷς ἑκὼν μέν, ἀλλ' ἐν παροινίᾳ καὶ δικαίου παντὸς ἐπέκεινα ἐπλημμέλησα, τὸν ἔσχατον κύβον κατ' ἐμαυτοῦ ῥίψας.

Παύσομαι τὰ τοιαῦτα ἐκτραγῳδῶν, ἵνα μὴ δόξω τοῖς ἐμοῖς ἐπεντρυφῶν ἀτυχήμασιν. Ἀλλὰ τί πάθω; ποῖ δὲ καὶ τράπωμαι; ποίαν ἀκοήν, ποίαν δὲ λαλιὰν ἀναρρήξαιμι; Ὁ νοῦς ἰλιγγιᾷ, ἡ φωνὴ ἔσβεσται, ἡ γλῶσσα κεκράτηται αὐανθεῖσα, τῆς φυσικῆς ἰκμάδος τῇ κα-

1. αὐτῶν 4. ποτε περιεχούσας 7. ἀναριπήσαντος 8. κακούργηται 12. καὐτῇ 18. ἐρεθριᾷν 19. μηδὲ 20. κᾳμὲ μυχετάτοις 21. δηλονότι 22. ἀναφανῆναι 26. ῥαδημιουργημάτων

μίνῳ τῆς σφοδρᾶς ἀθυμίας τέλεον ἀπομαρανθείσης. Ὡς ἀσκὸς ἐν πάχνῃ ἐγενόμην ὁ τάλας. Ἢ οὐχ ὁρᾶτε τὴν ῥῖνα ὡς ὀξεῖα, οὐ τὸ ὄμμα ὡς ἀλαπαδνόν; οὐ τὰς γνάθους ὡς συμπεπτώκασιν, οὐχ ὡς διερρύην πᾶς; οὐχ ὡς εἴδωλον περιέρχομαι, τοῦ πνεύματος ἐκλιπόντος; Ζητῶ τὸν παρακαλοῦντα καὶ οὐχ εὑρίσκω, εἰς τὰ δεξιὰ ἐπιβλέπω καὶ οὐκ ἔστιν ὁ ἐπιγινώσκων με. Θεὸς ὠργίσθη καὶ πάντες ἐπ' ἐμοὶ δυσμενεῖς. Βασιλεὺς εὐρυκρείων Πέτρος χαλεπαίνει, καὶ πάντες οἱ φίλοι || μοι ἐκποδών. Δυσμενοῦς ἐπειράθην τῆς τύχης καὶ πάντες φ. 162α με ἀποστρέφονται. Οὐκ ἔχω τὸν συναχθησόμενον καὶ παραμυθίαν τινὰ πειρώμενον ἐξευρίσκειν. Ἀνθρώπων συνηγορίαν ἐπιζητεῖν διανοοῦμαι, ἀλλ' ἀναπολῶν πάντας ἤδη δὸν παρ' ἐμοῦ ἠδικῆσθαι τὰ καίρια, οἰστοῦ οἰκτρότερον τοξευθέντας, συγκαλύπτομαι. Οὕτω σφοδρῶς κατ' ἐμοῦ ἔπνευσε τὸ δαιμόνιον, ὡς μηδὲ κόρον τῶν εἰς ἐμὲ λαμβάνειν ἀτυχημάτων, οὔτε μὴν μέτρον εἰδέναι. Ἀμέλει ἁπανταχόθεν ἀμηχανῶν τίνα πόρον ἀπαλλαγῆς οὐκ ἔχω μαθεῖν. Μία δή μοι ἄγκυρα ἱερὰ τῆς σωτηρίας περιλείπεται, τῆς ὑμετέρας ἁγιωτάτης βασιλείας τὸ συμπαθὲς καὶ πρὸς τοὺς ἡμαρτηκότας εὐίλατον. Διὸ καὶ πρηνῆ ἐμαυτὸν προςουδίζων καὶ τῶν σεβασμιωτάτων τοῦ θεοφρουρήτου σου κράτους ποδῶν ἁπτόμενος καὶ τούτους γε περιπτυσσόμενος, ὡς ἡ πόρνη ἐκείνη τοὺς ἀχράντους τοῦ Κυρίου πόδας, ἀντὶ τοῦ ἐκείνης μύρου τοῖς ὀχετοῖς τῶν δακρύων μου τούτους γε καταβρέχω, δέομαι δὲ οἰκτρῶς καὶ πάνυ γουνάζομαι. Οἴκτειρόν με τὸν σόν ποτε δοῦλον, νῦν δὲ ἀποστάτην καὶ τῆς σῆς βασιλείας ἐπίβουλον καὶ ἀντάρτην. Μὴ παρίδῃς δέησιν ἐλεεινήν, ὦ δέσποτα βασιλεῦ, || ἀνδρὸς φ. 162β πολλὰ μὲν φαῦλα καὶ θεομισῆ κατὰ τῆς ὑμετέρας δυναστείας καὶ τοῦ ὑπὸ χεῖρα αὐτῆς λαοῦ σκευωρήσαντος καὶ κομιδῇ κακομηχάνως συρράψαντος, ἤδη δὲ ὁμολογοῦντος ἐν παρρησίᾳ τὴν ἁμαρτίαν καὶ μεταμέλῳ πολλῷ χρωμένου ἐφ' οἷς ἔπραξεν ἀνομήμασι. Τίμησον τὸ τῆς μετανοίας ἀξίωμα τῇ ἀφέσει τῶν ἐμῶν παραπτώσεων, ἣν οἱ τῆς ὀρθοδοξίας θεοδίδακτοι παῖδες θεῖον δῶρον πρεσβεύοντες τοῖς πᾶσιν ἀνακηρύττουσιν, ἧς δίχα οὐδὲ εἷς ἂν ἐσώθη, ἁπαξαπάντων ταῖς ἁμαρτίαις περιειλουμένων καὶ σειραῖς ταῖς οἰκείαις περισφιγγομένων. Ζήλωσον τὸν φιλάνθρωπον ἡμῶν σωτῆρα, ἁμαρτωλοὺς εἰς μετάνοιαν

2. ῥίνα 10. πειρόμενον ἐξ εὑρίσκειν 11. ἠδικεῖσθαι 13. μηδὲ 16. ἡμετέρας. Ἴδε καὶ σ. 202, 22 22. οἰκτιρόν σόν ποτὲ

καλέσαι ἐπὶ γῆς διὰ σαρκὸς ἐπιδημήσαντα καὶ ὑπὲρ λαοῦ ἀνόμου σταυρὸν ὑπομείναντα καὶ θάνατον ἐπονείδιστον· ὅς, καίτοι ἰσχύων πάντας διὰ ψιλοῦ λόγου ἄρδην ἀπολέσαι, πᾶν τοὐναντίον πεποίηκεν, ὑπὲρ αὐτῶν λιτὰς τῷ πατρὶ προςάγων, ἵνα μὴ στήσῃ αὐτοῖς τὴν ἁμαρτίαν καὶ αὐτάνδρους εἰς πέταυρον Ἅδου ψυχολέθρως καταγάγῃ.

Λάβε μοι, ὦ ἱμεροέστατε, κατὰ νοῦν καὶ πολύαθλον ἐκεῖνον, τὸν πρωτομάρτυρα Στέφανον, ταῦτα τῷ διδασκάλῳ καὶ δεσπότῃ λιτά-
φ. 163α ζοντα ὑπὲρ τῶν λιθαζόντων || Ἰουδαίων, οὐχ ἥκιστα δὲ καὶ Μωϋσῆν τὸν θεσπέσιον καὶ θεόπτην, οἷα ἀνθ' οἵων καὶ ἡλίκα παρὰ τῶν ἀγνωμόνων Ἑβραίων ἀνεχόμενος ἔπασχε, δι' οὓς καὶ ἐκακώθη παρὰ τῷ θεῷ καὶ γῆς τῆς ἐπαγγελθείσης δι' αὐτὸ τοῦτο ἐστέρηται, μακρόθεν ἐκείνην καὶ ἀφ' ὑψηλοῦ ὄρους μόνον περιβλέψαι συγχωρηθείς· ἀλλ' οὐ διέλειπεν ὑπὲρ αὐτῶν λιτὰς τῷ θεῷ ἀναπέμπων καὶ πάντα πράως φέρων τῆς σωτηρίας αὐτῶν ἕνεκα.

Ἀλλὰ τί χρή μοι πλῆθος μαρτυριῶν, ἐξὸν τῇ ἐμπειροτάτῃ καὶ πολυμαθεστάτῃ διανοίᾳ τῆς βασιλικῆς ὑμῶν μεγαλειότητος ἐκ πολλῶν μυρία ἀναλέξασθαι, ἅπερ ἐγὼ τέως παρατρέχω, ἢ τὸ μῆκος τοῦ λόγου εὐλαβούμενος ἢ συγκεχυμένος τῷ πάθει τὴν γνώμην.

Ἀξιῶ μοι συγγνώμην γενέσθαι κατὰ τὸν τῶν ἀγαθῶν ἀνδρῶν νόμον. Αἰδέσθητι, βασιλεῦ κράτιστε, ταυτηνὶ τὴν πολιὰν, τὴν ἐφύβριστα πάσχουσαν· τίμησον αὐτὴν ἣν ἐγὼ ταῖς ἀτόποις κατῄσχυνα πράξεσι. Μὴ χράνῃς τὰς ὑμετέρας βασιλικὰς χεῖρας τῷ ἐμῷ αἵματι· μή μου θάνατον καταδικάσῃς, εἰς ὃν ὁ μήκιστος τοῦ βίου μου χρόνος καὶ τὸ βαθύτατον γῆρας ὅσον τάχιστα κατάξαι μ' ἀπειλεῖ. Νεκρός εἰμι ἔμ-
φ. 163β ψυχος καὶ τάφος κινούμενος, τῷ ἀναπνεῖν || μόνον ἐκείνων διαφέρων. Ἔασόν με, δέσποτα, ζῆν, εἴ σοι πρὸς γνώμης τοῦ θανάτου ἀλγεινότερα ὑφίστασθαι· οὐ γὰρ πεπαίδευμαι φέρειν τὰ λυπηρὰ τῷ μήκει τοῦ χρόνου, ἐπεὶ τὸ τὴν συμφορὰν ἄνωθεν συμπροελθεῖν εἰς παραμυθίαν ἀρκεῖ, καὶ τὸ τὰ εἰωθότα πεπονθέναι νουθεσία πρὸς τὸ καρτερεῖν καθίσταται, ἡ δὲ καινότης ἔχει τὴν ταραχὴν καὶ τοῖς παθοῦσι τὸ τῆς προςβολῆς ἄηθες σείει τὰς γνώμας. Ἡ ἡμέρα νὺξ εἶναί μοι δοκεῖ· ἀμυδρὰν ἔχει τὰ ὦτα τὴν λύπην, διὰ δὲ τῶν ὀμμάτων ὀξεῖά τις ὀδύνη κάτεισιν εἰς τὴν καρδίαν. Ἐπικάμφθητι τοίνυν, ἐν ἐλεεινῷ τῆς ψυχῆς καταστήματι ὁρῶν με συνεχόμενον. Διὸ καὶ μή μέ τις οἰέσθω

5. κατάγη 16. ἡμῶν 31. ἀηθὲς νύκτα 32. ὀξεῖα 34. με τίς

φιλόζωον, τὸ ζῆν παραιτούμενον· πολλοῦ γε καὶ δεῖ· ἀλλ' ἵνα μᾶλλον κολάζωμαι καὶ τὴν καρδίαν ὀδυνῶμαι, τά τε πρότερον λαμπρὰ καὶ ἄφθονα ἀγαθὰ τὰ θεόθεν τε καὶ παρὰ τοῦ ὑμετέρου ἀφθίτου σκήπτρου ἐπιδαψιλευθέντα μοι ἀναπεμπάζων καὶ ὅτι δι' ἁπάσης ἠδόμην γλώττης μοιρηγενὴς καὶ ὀλβιοδαίμων προσφωνούμενος, καὶ τὰ νῦν περιστοιχίζοντά με δεινὰ καὶ ἀφόρητα ἀτυχήματα οὐκ ἀδακρυτὶ διηγούμενος, τραγῳδὸς αὐτὸς ἐμαυτοῦ γινόμενος, πρὸς δὲ καὶ καιρὸν ἵνα λάβω μετανοίας, τοῖς δάκρυσιν ὅπως ‖ ἀπαλεῖψαι δυνηθῶ τῶν φ. 164r ἀνομιῶν μου τὰ πλήθη, ὑπὲρ πάντα ἄνθρωπον ἡμαρτηκώς, σωτηρίας τε καὶ συμπαθείας ἐμαυτὸν ἀνάξιος λογιζόμενος, ἅτε δὴ πλείστων δι' ἐμὲ Χριστοῦ λατρευτῶν ἰλαδὸν κατασφαγέντων, ἑτέρων τε μυρίων κακῶν ἀναφανέντων καὶ κινδύνων ἀπηρτημένων ἐκ τῆς ἐμῆς ἀπονοίας καὶ τοῦ παράφρονος λογισμοῦ.

Ἵλαθί μοι, ἅγιε βασιλεῦ· κράτησον τοῦ δικαίου θυμοῦ· χάρισαί μοι τὸ ζῆν. Τοῦτο γὰρ ἐὰν ἔσῃ πεποιηκώς, ἐμὲ μὲν μείζοσι καὶ χείροσι τοῦ θανάτου, ὡς ἔφθην εἰπών, περιβαλεῖς βασάνοις, σαυτὸν δὲ πολλῷ πλέον εἰς πᾶσαν τὴν περίγειον λῆξιν ἀντὶ τῶν ὧν ἔστησας τροπαίων τε καὶ θριάμβων περίδοξον καὶ μακαριστὸν ἀναδείξεις. Αἱ γὰρ κατὰ κόσμον ἀρχαὶ καὶ τὰ κατ' ἐχθρῶν τρόπαια πολλάκις καὶ τοῖς ἀγενέσι, κακοῖς τε καὶ ἀνάνδροις παρὰ τῆς τύχης προσγίνονται· τὸ δὲ τοῖς κρατηθεῖσιν ἢ ἄλλως πως πλημμελήσασι συμπαθῶς καὶ ἠπίως φέρεσθαι οὐ πρὸς τοῦ τυχόντος, ἀλλὰ ψυχῆς φιλοσόφου καὶ εὐγνώμονος, εἰδυίας εὖ μάλα τὰς ὀξυρρεπεῖς τῆς τύχης μεταβολὰς καὶ τὸ συμφυὲς καὶ ὁμόφυλον οὐκ ἀπαναινομένης, ἥτις καὶ τὴν ἔχθραν μέχρι νίκης οἶδε φυλάττειν, τῶν ἐχθρῶν δὲ ὑ‖περτερήσασα φ. 164v καὶ τῶν σωμάτων αὐτῶν κυρία γενομένη, μήνιδος ἀλογεῖ, πολὺ τὸ φιλάνθρωπον περὶ ἐκείνους δεικνύουσα. Ἐγώ, δέσποτα, εἰ μὲν παρὰ τοῦ ὑμετέρου ξίφους θάνατον λαβὼν τῶν τῇδε ἀπαλλαγείην, λόγισαι τὰ ἐντεῦθεν. Ἡ σὴ ἁγιωτάτη βασιλεία στερηθήσῃ(;) τῶν θειαζόντων αὐτὴν ἐπὶ τῇ ἡμερότητι καὶ τῇ περὶ τοὺς πλημμελήσαντας συμπαθείᾳ. Οἶμαι δὲ οὐχ ἁμαρτεῖν εἰπὼν ὡς ἐγὼ μὲν κινδυνεύω περὶ τοῦ σώματος, ἡ δέ σου βασιλεία περὶ τῆς δόξης. Προσέτι δέδοικα μή τι καὶ τὸ θεῖον αὐτῇ χαλεπήνῃ, τὴν Ἄφετε καὶ ἀφεθήσεται ὑμῖν

2. κολάζωμαι ὀδυνῷμαι 8. δυνηθῷ 14. ἴλαθι 17. περίνειον(;) 29. θειασόντων 33. χαλεπήνη

ἐντολὴν παρωσαμένῃ. Εἶτα κἂν ποτε καὶ ἄλλοτε ἕτερόν τι τοιοῦτον συμβαίη, οἷα δὴ φιλεῖ συμβαίνειν (τοιαῦτα γὰρ τὰ ἀνθρώπινα, πλείοσι τοῖς κακοῖς τὰ καλὰ ἀνακεκραμένα κεκτημένα), καί τινες, τὸ παράβολον τῆς ἐμῆς γνώμης ζηλώσαντες, εἰς ἀποστασίαν ἀποκλίνοιεν, ἐφ' ᾧ ἂν καὶ θαρρεῖν ἔχοιεν, παλίμβουλοι γενόμενοι καὶ ὡς εἰπεῖν παλινάγρετοι πρὸς τὴν μεγίστην σου βασιλείαν ἐπιστραφοῖεν, ἀξιοῦντες συγγνώμης ἐφ' οἷς ἥμαρτον τυχεῖν, ἣν ἐπ' ἐμὲ οὐκ ἐδείξω; Πολλοῦ γε καὶ δεῖ τοῦτο ποιῆσαι. Ἀλλὰ δυοῖν θάτερον ἕψεται, ἢ τῶν ὧν κατὰ τῆς σῆς
φ. 165α || βασιλείας ἐμελέτησαν ἐγκρατεῖς γενέσθαι ἢ μεθ' ὅπλων καὶ μάχης καὶ μετὰ πολλοῦ φόνου τῶν ἑκατέρωθεν ἡττηθῆναι, ὀψὲ καὶ μόγις ῥιψάσπιδας γεγονότας ἢ φόνῳ τὸ ζῆν ἐκμετρήσαντας. Πόσοι τε δὲ τὸ ἔργον ὡς ὠμὸν μυσαχθήσονται, πολὺ τὸ μῖσος ἐν ταῖς καρδίαις τρέφοντες. Ὁ γὰρ φόβος οὐκ ἀγάπην, ἀλλὰ κότον καὶ ἀποστροφὴν εἴωθεν ἀποτίκτειν, ἥτις καιροῦ δραξαμένη ἀκρατῶς φέρεται, ἀμυνομένη τὸν ὃν φόβῳ ἐπὶ τῇ τυραννίδι ὑπούλως ἐθεράπευε. Καὶ οἱ φιλίαν προςποιούμενοι ἔχθος ἀναφανδὸν ἐνδεικνύουσιν. Ἅπας γὰρ κάκιστος ἐν οἷς ἀναγκάζεται, καὶ ὁποῖ' ἄττα ἦν τὰ τῶν ἀνθρώπων πράγματα, τοιοῦτον ἀνάγκη καὶ τὸ φρονημα ἔχειν. Ὅθεν καλῶς τε καὶ ἀραρότως δοκοῦσι μοι διατάξασθαι οἱ φιλόσοφα(;) διαπέμψαντες τοὺς ἄρχοντας μὴ αὐτούς, ἀλλ' ὑπὲρ αὐτῶν τὸ ὑπήκοον δεδιέναι βούλεσθαι παρεγγυώμενοι.

Ἀλλ', ὦ γαληνότατε, ἀνάσχου μου ἔτι μικρόν. Ἓν γὰρ τουτὶ προςθείς, τὸν πλοῦν πειράσομαι ἀναστεῖλαι τοῦ λόγου. Ἀποκτενεῖς με; Ἀλλὰ τί ἄν σοι ἐκ τούτου πλέον; Πολέμιον καὶ τῆς σῆς βασιλείας ἀντίξουν ἴσῃ τετιμωρηκώς, φαίης ἄν, ὃ καὶ ἑτέρους πλείστους τῆς ὁρμῆς ἀναστεῖλαι τοῦ τοιάδε φρονεῖν ἢ ὅλως πράττειν. Εἶεν·
φ. 165β ἀλλὰ τουτουὶ || πολλῷ μᾶλλον ἐπίβολος γένοιο ἐν τοῖς ζῶσι καταλιπών με, τοῦτο μὲν ὅτι οἱ πλείους ἡμερότητι καὶ λόγοις μειλιχίοις μᾶλλον φιλοῦσι προςάγεσθαι ἢ ὠμοῖς καὶ ὑπεροπτικοῖς ἤθεσιν εἴκειν· φορτικὸν γὰρ τὸ τοιοῦτον· τοῦτο δὲ ὅτι περιὼν ἔγωγε καὶ δυςκλεῶς ζῶν διαπρύσιος κῆρυξ κατ' ἐμαυτοῦ γενοίμην καὶ οὐκ εἰς βυθὸν λήθης τὰ ὅσα μοι ἀνοσίως διεπράχθη χωρήσειν, ἐξίτηλα τῷ πανδαμάτορι

5. παλίμβολοι 8. ἔψεται 10. μεταπολλοῦ ἑκατέροθεν 11. ῥιψάσπιδες γεγονότες 12. μίσος 18. ἅττα 18. δοκοῦσι 19. φᾶ 25. ἀναστεῖλοι

Ε.Υ.Δ.Π.Π.Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

χρόνῳ γενόμενα, στήλης δίκην ἐμψύχου ἐπὶ τὸ κοινὸν τοῦ παντὸς θέατρον διατελοῦντός μου. Ἐῶ λέγειν, ἵνα μὴ μακροὺς ἀποτείνω λόγους εἰς δικαιολογίαν, καὶ πολλῶν καθαπτόμενος, ὅτι, τὰς τῶν συκοφαντούντων ὑφορώμενος βλασφημίας, φυγῇ τὴν σωτηρίαν κερδᾶναι ἔσπευδον καὶ τῷ τοῖς πολεμίοις αὐτομολῆσαι, οὐκ ἐκείνοις χαριζόμενος ἢ φίλια φρονῶν, ἀλλ' ἐμαυτὸν τῶν ἀπῃωρημένων κινδύνων ἀπαλλάττων, εἰ καὶ παρεκλάπην εἰς τὸν αὐτὸν κύρτον ἐμπεσών, τὸ τοῦ λόγου· ἀνθρώπινον δὲ τὸ ἁμαρτάνειν κἂν τούτῳ ἡ θνητὴ φύσις τῆς θείας καὶ ἀκηράτου διενήνοχε.

Χάρισαί μοι τοίνυν, ὦ ἠπιώτατε βασιλεῦ, τὸ ζῆν, ὅπως θρηνήσω τὰ κατ' ἐμέ, τοιάδε διηνεκῶς μετὰ θρηνῳδίας καὶ κοπετοῦ ἐμαυτῷ διαλεγόμενος· «Οἴμοι τῷ ταλαιπώρῳ καὶ ἄφρονι, || ποίων ἀγαθῶν φ. 166r ἐστερήθην, ποίοις δὲ κακοῖς ἐθελοκάκως προσώκειλα. Οὐκ ἔφερον σωφρόνως τὴν περιμάχητον εὐτυχίαν. Νῦν ἐν τοῖς δεινοῖς τὰ δέοντα μεταμαθεῖν ἀναγκασθήσομαι, εἰ μή που τὸ εὖ φρονεῖν τέλεον ἀπεβλήθην. Ὦ λαμπραὶ πρότερον τύχαι, ὦ ἀτυχέσταται νῦν συμφοραί, ὦ κυβεῖαι τοῦ βίου, ὦ παλιρρόθιοι μεταβολαί. Βαθὺ σκότος περικυκλοῖ τὰ ἡμέτερα, καὶ ἀδηλία τὸ πᾶν. Τοῖς νυκτομαχοῦσιν ἄντικρυς οἱ ἄνθρωποι ἐοίκασιν. Ἀβλεψίαν νοσοῦμεν, τὰ ἐν ποσὶν οὐ κατοπτεύοντες. Ὁ πλοῦτος δραπέτης καὶ δόξαι ἐπισφαλεῖς καὶ ἀρχαὶ εὐμετάπτωτοι· οἱ φίλοι ἄπιστοι· αἱ τιμαὶ μάτην· αἱ εὐποιίαι γηράσκουσαι· ἡ νεότης ἀβέβαιος· τὸ γῆρας λυπηρόν· νόσοι ποικίλαι· πάθη ἀλλεπάλληλα· δυσκληρίαι συνεχεῖς· σκιαὶ ὀνείρων τὰ πάντα, πρὶν κρατηθῆναι ἀφιπτάμενα καὶ πρὶν ὁραθῆναι τὴν ὄψιν ἀποδιδράσκοντα. Οὐδὲν ταῦτα εἰ μὴ λῆρος καὶ γέλως πλατύς».

Ἔγωγε ἐν ἀκμῇ τῆς ἡλικίας, ἡνίκα καὶ φρένες ὁπλοτέρων ἠερέθονται, καλῶς ἐμαυτὸν διῴκουν μετὰ πολλῆς τῆς περιφανείας καὶ λαμπρότητος, πίστιν τε οὐ τὴν τυχοῦσαν περὶ τὸν βασιλέα καὶ ἐμὸν κηδεμόνα ἐδείκνυον. Ἐν γήρατι δὲ μακρῷ καὶ πώγωνι πολιῷ, ἐν ᾧ καὶ ἡ φρόνησις εὐσταθὴς καὶ φρένες πεπηγυῖαι εἶναι πιστεύονται, εἰς ἀλογίαν οὐκ οἶδ' ὅπως παρεκτραπείς, μωρὰ καὶ ἀτάσθαλα ἐνεανιευσάμην, καὐτῶν τῶν νεογνῶν παιδαρίων ἀσυνετώτερα. Ὡς ἔστ' ἄπιστος ὁ ἀνθρώπινος βίος, καλῶς ἔφη ὁ εἰπών. Πρὸ τοῦ τέλους μακά-

2. διατελοῦντος     4-5. κερδᾶναι     15-16. μή που - συμφοραὶ προστεθειμένα ἐν τῇ ᾤᾳ

ριζε μηδένα. Ἀόρατον γὰρ τὸ μέλλον καὶ ἡ τύχη ἀόριστος, οἷα καὶ ἐπ' ἐμοὶ ξυμβέβηκεν. Οὐδὲν τὰ Κροίσου ὅσον πρὸς τὰ ἡμέτερα. Βασιλικῶς γὰρ ἐκεῖνος καὶ γενναίως ἀγωνισάμενος, ἥτταν ὑπέστη, ἀνθρωπίνῃ τύχῃ χρησάμενος. Ἔγωγε μέντοι ἐξ οὐρίας πλέων, τῆς τύχης μοι εὐροούσης καὶ ἀγαθῶν σωρείας φιλοτιμουμένης, ἑκὼν ἐδυστύχησα, τοιούτοις κινδύνοις ἐμαυτὸν ἐπιρρίψας, μηδενὸς ὄντος ἢ φαινομένου τοῦ κατεπείγοντος, ὥστε μου τὸ ζῆν ἀπὸ τοῦ ἐξαρτῆσθαι μίτου καὶ ἐπὶ ξυροῦ ἵστασθαι. Ποῦ τοίνυν ἀνάπτω; ποῖ καταφύγω; παρὰ τίνα τράπωμαι, τοσούτοις πανταχόθεν περικλυζόμενος κακοῖς καὶ συμφοραῖς πιεζόμενος; Ἅλις τοῦ κακοῦ. Ἐλέους τυχεῖν ἄξιος. Καρδίαν ἀδαμαντίνην καὶ ψυχὴν σφενδαμνίνην εἰς οἶκτον καὶ δάκρυα προὔτρεψ' ἄν. φ. 167α Τί δὴ καὶ ὑμῖν ἐπιβλαβὴς τοῦ λοιποῦ ἂν εἴην, || ἄνθρωπος τεκηκώς, ἐκνενευρισμένος, μόλις ὀρθούμενος, τὰ λοίσθια πνέων;

Εἴρηται· περαιτέρω γὰρ λέγειν οὐκ ἐπιτρέπει τὰ δάκρυα· καὶ μάλιστα οὐκ ἔχων τὸν λόγον ἐξισῶσαι ταῖς συμφοραῖς. Ἡ δὲ σὴ φιλόχριστος βασιλεία καὶ συμπαθεστάτη ψυχή, τῶν μὲν πλημμελημάτων μου εἰς λήθην ἐλθοῦσα, τῶν δὲ πηγῶν τῶν δακρύων οἶκτον λαβοῦσα, εὐμενῆ καὶ ἄξια ἑαυτῆς καὶ τῆς εὐαγγελικῆς ἐπαγγελίας καὶ χάριτος κατάλληλα περὶ ἐμοῦ φιλανθρώπως ἀποφηνάτω.

---

15-16. φιλόχρηστος 19. ἀποφηνάτω

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006